Ἔπειτα σιφωνίζομεν τὸν σῖτον. Γυν. ἐπιτριβείης.
Κη. Ὡς αὐτὰ κρέ᾽ ἐξ Ἀπατουρίων ταῖς μαστροποῖς διδοῦσαι
Ἔπειτα τὴν γαλῆν φαμέν. Γυν. τάλαιν᾽ ἐγὼ φλυαρεῖς.
Κη. Οὐδ᾽ ὡς τὸν ἄνδρα τῷ πελέκει γυνὴ κατεσπόδησεν.
Οὐκ εἶπον. οὐδ᾽ ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ᾽ ἔμηνεν.
Οὐδ᾽ ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτε. Γυν. ἐξόλοιο.
Κη. Ἀχαρνικὴ τὸν πατέρα. Γυν. ταυτὶ δῆτ᾽ ἀνεκτ᾽ ἀκούειν;
Κη. Οὐδ᾽ ὡς σὺ τῆς δούλης τεκούσης ἄρρεν. εἶτα σαυτῇ
Τοῦθ᾽ ὑπεβάλου. τὸ σὸν δὲ θυγάτριον παρῆκας αὐτῇ.
Γυν. Οὔτοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτὶ
Ἀλλ᾽ ἐκποκιῶ σου τὰς ποκάδας. Μν. Κη. οὐ δὲ μὰ Δία σύγε ἅψει.
Γυν. Καὶ μὴν ἰδού. Μν. καὶ μὴν ἰδού. λάβε θοἰμάτιον Φιλίστη.
Μν. Κη. Πρόσθες μόνον. κἀγώ σε νὴ τὴν Ἄρτεμιν. Γυν. τί δράσεις;
Μν. Κη. Τὸν σησαμοῦνθ᾽ ὃν κατέφαγες τοῦτον χεσεῖν ποιήσω.
Χο. Παύσασθε λοιδορούμεναι. καὶ γὰρ γυνή τις ἡμᾶς
Ἐσπουδακυῖα προστρέχει. πρὶν οὖν ὁμοῦ γενέσθαι,
Σιγᾶθ᾽ ἵν᾽ αὐτῆς κοσμίως πυθώμεθ᾽ ἅττα λέξει.

A *Postea quasi per siphonem & fistulam attrahimus cibum.* Mv. *Perdaris.*
So. *Quodq; ipsas carnes Apaturijs festis lenis dantes,*
*Deinde felem dicimus abstulisse.* Mvl. *Miseram me, nugaris.*
So. *Neque quod maritum securi uxor percussit,*
*Non dixi: neq; quod potionibus altera maritum insanire fecit,* B
*Neque quod sub solio defodit olim.* Mvl. *Pereas.*
So. *Acharnica patrem.* Mvl. *Hæc vero tolerabilia sunt ne ad audiendum?*
So. *Neque quod tu ancilla pariente marem, deinde tibi ipsi*
*Hunc supposuisti, tuam vero filiolam dimisisti ipsi.*
C Mvl. *Non per deas tu impune feres, dicens hæc,*
*Sed euellam tui pilos.*
So. *Neque per Iouem tu quidem attinges me.*
Mvl. *Verum ecce, verum ecce te tangam, sume pallium Philista ancilla.*
So. *Accede modo, & ego te per Dianam.* Mvl. *Quid facies?*
D So. *Sesaminam placentam quam deuorasti, hanc cacare faciam.*
Cho. *Desinite conuiciantes, etenim mulier quædam ad nos*
*Festinans accurrit: priusquam igitur simul fiamus,*
*Tacete, vt ipsam modeste audiamus quæ nam dicet.*

E

Bourdinus. Σιφωνίζομεν τὸν σῖτον.] σιφωνίζειν δὲ κυρίως σημαίνει ἀποσπᾶν ἐπὶ τῶν ὑγρῶν. ἐνταῦθα δ᾽ ὁ Ἀριστοφάνης καταχρῆται ἐπὶ τοῦ σίτου. τοῦτο δὲ ῥῆμα μετάγεται ἀπὸ τοῦ σίφωνος, ὃ σημαίνει τὸν καδίσκον, ᾧπερ χρῶνται οἱ κάπηλοι πρὸς τὸν οἶνον, καὶ ὄργανόν τι εἰς πρόεσιν ὑδάτων ἐν τοῖς ἐμπρησμοῖς, καὶ σιφώνιον τὸ αὐτὸ δηλοῖ. Κρέ᾽.] κρέατα ἐν τῇ ἑορτῇ τῶν ἀπατουρίων διδόασι τοῖς πορνοβόσκοις, ἔπειτα γαλῆν ἀφελέσθαι προφασίζονται. ἀπατουρίων δ᾽ ἑορτὴ ἦν δημοτελὴς ἥπερ ἤγετο παρ᾽ Ἀθηναίοις τρεῖς ἡμέρας. πρώτη μὲν ἐκαλεῖτο δορπεία, ἡ δευτέρα ἀνάθυσις ἀπὸ τοῦ θύειν. ἡ τρίτη κουρεῶτις, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κούρας ἐγγράφειν εἰς τὰς φρατρίας. φασὶ δέ τινες ἀπατούρια ὀνομάζεσθαι οἷον δὴ ὁμοπατόρια τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφάς. Ταῖς μαστροποῖς] μαυλιστρίαις καὶ πορνοβόσκοις. Γαλῆν.] ἀφελέσθαι δηλονότι. Κατεσπόδησεν] ἐπάταξεν, ἔτυψεν. Ἔμηνεν] μανῆναι ἐποίησε, εἰς μανίαν ἐνέβαλεν. Πυέλῳ] ὀρύγματι, ἐμβάτῃ θήκῃ, ἔνθα ἀπολούσεις ποιοῦνται. Ἀχαρνικὴ τὸν πατέρα] δηλονότι κατώρυξε ὑπὸ τῇ πυέλῳ. Οὐδ᾽ ὡς σύ] πρῶτον ὁ Ἀριστοφάνης ἐξηγόρευσε τὰς ἀκρατείας καὶ ἀμετρίας τῶν γυναικῶν, ἐνταῦθα δ᾽ ἐξαγορεύει τὴν κακοεργίαν ἐκείνων. Ὑπεβάλου] ὑπέθου. Καταπροίξει] προῖκα ἐκφεύξει, οὐ καταφρονήσεις καταγελάσεις τε ἡμῶν χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον καὶ τὴν ζημίαν οἱ παλαιοί. Ἐκποκιῶ.] ἐκτιλῶ, ἐκσπάσω, ἀποξυρῶ τὰς ποκάδας τὰς διεκτενισμένας τρίχας σου. Σησαμοῦνθ.] σησαμοῦς τὸ πόπανον, εἶδος πλακοῦντος.

Bis. Σιφωνίζομεν.] σιφωνίζειν, κυρίως ἐπὶ τῶν ὑγρῶν τὸ ἀποσπᾶν. Ἀριστοφάνης δὲ κατεχρήσατο εἰπών, σιφωνίζομεν τὸν σῖτον. Σ. σιφωνίζειν δὲ τὸν σῖτον νῦν ἀκυρολόγως δηλοῖ τὴν τροφὴν ὥσπερ διὰ σίφωνος, καὶ σύριγγος, ἢ ὀχετοῦ τινος ἕλκειν, καὶ εἰς τὴν γαστέρα ἐμβάλλειν. F Ὡς αὐτὰ κρέ᾽ ἐξ Ἀπατουρίων.] τὸ πλῆρες, ὥστε αὐτὰ κρέα ἐξ Ἀπατουρίων. ἔπειτα φαμὲν τὴν γαλῆν αὐτὰ λαβεῖν, κλέψαι, καὶ φαγεῖν. περὶ δὲ τῶν Ἀπατουρίων ἐν Ἀχαρνεῦσιν εἴρηται. κατεσπόδησεν δέ, ἔτυψεν, ἔπληξεν. Ἔμηνεν.] μαίνεσθαι ἐποίησεν. εἰς μανίαν εἰσέβαλε. τὸ γὰρ μαίνειν ἐνεργητικῶς λαμβάνεται. Ὑπὸ πυέλῳ.] Σ. πύελος, ὄρυγμα, ἐμβάτη, ἔνθα ἀπολύονται. Ἡσύχιος δὲ τὴν ἀσάμινθον, ἢ λάρνακα οὕτω καλεῖ. Ἀνέκτ᾽ ἀκούειν.) ἀνεκτὰ ἀκούειν. ἀνεκτοῦ, φορητοῦ, ὑπομονητικόν. Ἡσύχιος. καὶ ἀνεκτὰ, ἀντὶ τοῦ ἀνέσεως, ἢ ὑπομονῆς ἄξια. G Καταπροίξει.) Ἀττικῶς, ἀντὶ τοῦ καταπροίξῃ, τουτέστι κατὰ Σουίδαν, καταγελάσῃ μου χωρὶς ζημίας. προῖκα γάρ, φησιν, ἔλεγον καὶ τὴν ζημίαν. Ἡρόδοτος. Οὐ γὰρ δή ἐμέ γε ὧδε λωβησάμενος καταπροίξεται. καὶ ἐν Σφηξὶ ταύτῃ τῇ λέξει Ἀριστοφ. ἐχρήσατο. τὰ δὲ σχόλια οὕτως αὐτὸ ἑρμηνεύει. οὐ μὴ καταφρονήσεις. παρὰ τὸ προῖκα. τουτέστιν, οὐ δωρεὰν μου ἐγχανῇ. καὶ ἐν Νεφέλ. ταὐτόν.